αὐτοῦ τὸ τέταρτον τοῦ ιν τῷ ἀμνῷ τῷ ἑνί, ἐν τῷ ἁγίῳ σπείσεις
σπονδὴν σικερα κυρίῳ. [8]καὶ τὸν ἀμνὸν τὸν δεύτερον ποιήσεις τὸ 8
πρὸς ἑσπέραν· κατὰ τὴν θυσίαν αὐτοῦ καὶ κατὰ τὴν σπονδὴν αὐ-
τοῦ ποιήσετε εἰς ὀσμὴν εὐωδίας κυρίῳ.
[9]Καὶ τῇ ἡμέρᾳ τῶν σαββάτων προσάξετε δύο ἀμνοὺς ἐνιαυσίους 9
ἀμώμους καὶ δύο δέκατα σεμιδάλεως ἀναπεποιημένης ἐν ἐλαίῳ εἰς
θυσίαν καὶ σπονδὴν [10]ὁλοκαύτωμα σαββάτων ἐν τοῖς σαββάτοις 10
ἐπὶ τῆς ὁλοκαυτώσεως τῆς διὰ παντὸς καὶ τὴν σπονδὴν αὐτοῦ.
[11]Καὶ ἐν ταῖς νεομηνίαις προσάξετε ὁλοκαυτώματα τῷ κυρίῳ 11
μόσχους ἐκ βοῶν δύο καὶ κριὸν ἕνα, ἀμνοὺς ἐνιαυσίους ἑπτὰ ἀμώ-
μους, [12]τρία δέκατα σεμιδάλεως ἀναπεποιημένης ἐν ἐλαίῳ τῷ μό- 12
σχῳ τῷ ἑνὶ καὶ δύο δέκατα σεμιδάλεως ἀναπεποιημένης ἐν ἐλαίῳ
τῷ κριῷ τῷ ἑνί, [13]δέκατον σεμιδάλεως ἀναπεποιημένης ἐν ἐλαίῳ 13
τῷ ἀμνῷ τῷ ἑνί, θυσίαν ὀσμὴν εὐωδίας κάρπωμα κυρίῳ. [14]ἡ σπον- 14
δὴ αὐτῶν τὸ ἥμισυ τοῦ ιν ἔσται τῷ μόσχῳ τῷ ἑνί, καὶ τὸ τρί-
τον τοῦ ιν ἔσται τῷ κριῷ τῷ ἑνί, καὶ τὸ τέταρτον τοῦ ιν ἔσται
τῷ ἀμνῷ τῷ ἑνὶ οἴνου. τοῦτο ὁλοκαύτωμα μῆνα ἐκ μηνὸς εἰς
τοὺς μῆνας τοῦ ἐνιαυτοῦ. [15]καὶ χίμαρον ἐξ αἰγῶν ἕνα περὶ ἁμαρ- 15
τίας κυρίῳ· ἐπὶ τῆς ὁλοκαυτώσεως τῆς διὰ παντὸς ποιηθήσεται
καὶ ἡ σπονδὴ αὐτοῦ.
[16]Καὶ ἐν τῷ μηνὶ τῷ πρώτῳ τεσσαρεσκαιδεκάτῃ ἡμέρᾳ τοῦ μη- 16
νὸς πασχα κυρίῳ. [17]καὶ τῇ πεντεκαιδεκάτῃ ἡμέρᾳ τοῦ μηνὸς τού- 17
του ἑορτή· ἑπτὰ ἡμέρας ἄζυμα ἔδεσθε. [18]καὶ ἡ ἡμέρα ἡ πρώτη 18
ἐπίκλητος ἁγία ἔσται ὑμῖν, πᾶν ἔργον λατρευτὸν οὐ ποιήσετε. [19]καὶ 19
προσάξετε ὁλοκαυτώματα καρπώματα κυρίῳ μόσχους ἐκ βοῶν δύο,
κριὸν ἕνα, ἑπτὰ ἀμνοὺς ἐνιαυσίους, ἄμωμοι ἔσονται ὑμῖν· [20]καὶ 20
ἡ θυσία αὐτῶν σεμίδαλις ἀναπεποιημένη ἐν ἐλαίῳ, τρία δέκατα τῷ
μόσχῳ τῷ ἑνὶ καὶ δύο δέκατα τῷ κριῷ τῷ ἑνί, [21]δέκατον δέκατον 21
ποιήσεις τῷ ἀμνῷ τῷ ἑνὶ τοῖς ἑπτὰ ἀμνοῖς· [22]καὶ χίμαρον ἐξ 22
αἰγῶν ἕνα περὶ ἁμαρτίας ἐξιλάσασθαι περὶ ὑμῶν· [23]πλὴν τῆς ὁλο- 23
καυτώσεως τῆς διὰ παντὸς τῆς πρωινῆς, ὅ ἐστιν ὁλοκαύτωμα ἐν-
δελεχισμοῦ. [24]ταῦτα κατὰ ταῦτα ποιήσετε τὴν ἡμέραν εἰς τὰς ἑπτὰ 24
ἡμέρας δῶρον κάρπωμα εἰς ὀσμὴν εὐωδίας κυρίῳ· ἐπὶ τοῦ ὁλο-
καυτώματος τοῦ διὰ παντὸς ποιήσεις τὴν σπονδὴν αὐτοῦ. [25]καὶ 25
ἡ ἡμέρα ἡ ἑβδόμη κλητὴ ἁγία ἔσται ὑμῖν, πᾶν ἔργον λατρευτὸν
οὐ ποιήσετε ἐν αὐτῇ.

8 κυριου B*†: item in 15. 24 et B* in 16 || 9 αναπεπ. εν ελ./εις θυσ.] tr. A || 10 ολοκαυτωματος σαββατου A || 11 νουμηνιαις A | τω > A | και ult. > A || 13 δεκατον] + δεκατον AB$^{c}$ || 14 αυτων] -τω A† | εσται $1^{0} \frown 2^{0}$ B*† | ολοκαυτ.] pr. το A || 16 ⌒ 17 μηνος A || 17 εορτη] pr. ποιηθησεται A | επτα — fin. > A || 19 ολοκαυτωμα A | καρπωμα AB$^{c}$ | επτα] > B*†, post ενιαυσιους tr. B$^{c}$ | αμωμοι > A† || 20 η > B† | fin.] + ποιησεται(pro -τε) A || 22 περι αμαρτ. > A† || 23 της $2^{0}$ > A || 24 επτα] δυο A$^{r}$†

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416246419/319 UNIVERSITÄT LEIPZIG